αὐτόθι 8 ἐπιδείξαντας τοῖς ξυμμάχοις ξυμβαλέσθαι, αἴκα αὐτοῖς δοκῇ". Τὸ δὲ καλῶς παρατυχὸν ἀπολύτως = καλῆς περιστάσεως τυχούσης. Παρβ. 1, 76, 2 ὃν οὐδείς πω παρατυχὸν ἰσχύϊ κτήσασθαι προθεὶς τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο. Αὐτόθι 3. καὶ οὗτοι πάντες λογάδες ἀφ' ἑκάστων, ἀξιόμαχοι δοκοῦντες εἶναι οὐ τῇ Ἀργείων μόνον ξυμμαχίᾳ, ἀλλὰ κἂν ἄλλῃ ἔτι προσγενομένῃ". Τὰ χειρόγραφα ἔχουσι τὴν γραφήν: ἀλλὰ καὶ ἄλλῃ. Ὁ Bekker *ὑποθέμενος, ὅτι ἡ ὑποθετικὴ μετοχὴ προσγενομένῃ = εἰ προσεγένετο, τὸ ἑπόμενον μετὰ τοῦ ἂν ἀπαιτεῖ = ἀξιόμαχοι ἂν εἶναι ἐδόκουν, συνῆψε τοῦτον μετὰ τοῦ καί: κἂν ἄλλῃ . . τὴν γνώμην αὐτοῦ ταύτην παρεδέξαντο πάντες οἱ νεώτεροι ἐκδόται. Ἡμεῖς τοὐλάχιστον οὐδεμίαν στενὴν σχέσιν μεταξὺ ἡγουμένου καὶ ἑπομένου ὑποθετικοῦ λόγου ἐνταῦθα βλέπομεν, ἧς ἕνεκα ὁ ἂν ἀπαραίτητος τυγχάνει. Διότι ἡ φυσικὴ καὶ κανονικὴ ἔκφρασις τοῦ χωρίου, ὡς ἐξηνέχθη, οὐδαμῶς διακρίνει δύο περιστάσεις ἐχούσας σχέσιν ὡς αἴτιον καὶ ἀποτέλεσμα ἢ ὡς ἡγούμενον τοιοῦτον ἢ τοιοῦτον καὶ ἑπόμενον ἀνάλογον. Κατὰ τὴν ἐκδοχὴν τῶν ἐκδοτῶν ἔχει τὸ χωρίον τοῦτο εἰς τὰ καθέκαστα οὕτω: καὶ οὗτοι πάντες ἦσαν λογάδες, δοκοῦντες (οἳ ἐδόκουν) ἀξιόμαχοι εἶναι οὐ μόνον τῇ Ἀργείων ξυμμαχίᾳ, ἀλλὰ καὶ εἰ ἄλλη προσεγένετο, ἐδόκουν ἂν ἀξιόμαχοι εἶναι. Πρῶτον εἰ ὁ ἂν ἀναγκαῖος ἦν πρὸς τὸ δυνατὸν τῆς δοκήσεως ἢ τοῦ ἀξιόμαχοι εἶναι, ὁ συγγραφεὺς ἐτίθη ἂν αὐτὸν ἀνωτέρω: ἀξιόμαχοι ἂν δοκοῦντες εἶναι. Τούτου δὲ μὴ γενομένου ἐν τῷ πρώτῳ, οὐδὲ καὶ τὸ δεύτερον ἀνάγκη τὸν ἂν ἔχειν. Ἔπειτα ἡ μετοχ. προσγενομένῃ ἔστι μὲν ὑποθετική, ἀλλ' οὐκ ἐφελκύει ἀναποφεύκτως τοιόνδε ἢ τοιόνδε ἐπακολούθημα, ἐπειδὴ ἡ ἔννοια αὐτῆς μᾶλλον προσθετικῶς λαμβάνεται, οἷον· ἐφαίνοντο ὅτι ἦσαν ἀξιόμαχοι ὄχι μόνον πρὸς τὴν συμμαχίαν τῶν Ἀργείων, ἀλλὰ καὶ πρὸς ἄλλην ἔτι ἐπιπρόσθετον (πρὸς ταύτῃ) (εἰ προσεγένετο) (ἐδόκουν = ἐφαίνοντο ἀξιόμαχοι εἶναι). Ὁ ἀλλὰ καὶ κλημακηδὸν συνάπτει οὐχὶ τὴν μετοχ. προσγεν., ἀλλὰ τὸ συμμαχίᾳ καὶ τὸ ἄλλῃ. Παραδείγμασι τοιαύτης ἐκφράσεως χρῆται ἡ δημώδης ἑλλ. γλῶσσα ἀπείροις: ἐφαίνοντο ἱκανοὶ ὄχι μόνον τὴν ψημένην (ὀπτὴν) χήναν (χῆνα) νὰ φάγωσιν, ἀλλὰ καὶ ἄλλην ἀκόμα κοντὰ εἰς αὐτὴν (πρὸς ταύτῃ) ἢ καὶ ἄλλην*

ἀκόμα ἂν εἶχον (εἰ εἶχον) τοιαύτην. Ἦσαν ἱκανοὶ ὄχι μόνον τοὺς ἀντικρυνοὺς των ἐχθροὺς νὰ καταβάλωσιν, ἀλλὰ καὶ ἄλλους ἀκόμα κοντὰ εἰς αὐτούς, δηλ ἂν ἀκόμα καὶ ἄλλοι τοιοῦτοι προσήρχοντο. Ἡ ἐλαφρὰ καὶ μὴ ἀναγκαία ἀπόδοσις τοῦ: ἂν ἀκόμα καὶ ἄλλοι τοιοῦτοι προσήρχοντο „ἐννοεῖτοι: ἦσαν ἱκανοί, ὡς ἐν τῷ πρώτῳ μέρει, καὶ οὐχὶ θὰ ἦσαν ἱκανοί, ἠδύναντο νὰ εἶνε ἱκανοὶ (εἴησαν ἂν ἢ ἦσαν ἂν ἱκανοί), ὅπερ ἄτοπον. Διὸ δοκεῖ ἡμῖν, ὅτι ἡ τῶν χειρογράφων γραφή: ἀλλὰ καὶ ἄλλῃ ἔχει ὡς ἄριστα, ἡ δὲ κἂν ἄλλῃ ἀσαφῶς καὶ ἀτόπως. Αὐτόθι 5. νομίζοντες κἀκεῖνοι μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν Λακεδαιμονίους διαπεφευγέναι". Ὁ Poppo καὶ ὁ Classen καὶ ἄλλοι σχολιασταὶ τὸ μὴ ἂν ἀποδιδοῦσι τῇ ἀπολύτῳ μετοχ. παρασχόν, συντιθέντες μάλιστα τὸ μὴ μετὰ τοῦ ποτὲ = μήποτε, οὐδέποτε, καὶ ἐξηγοῦσιν ὧδε: ὅτε αἱ περιστάσεις οὐδέποτε ἠδύναντο εὐνοϊκώτεραι αὐτοῖς δοθῆναι" περὶ δὲ τοῦ: Λακεδαιμονίους διαπεφευγέναι „οὐδὲν λέγουσι. Κατὰ τὴν ἐκδοχὴν ταύτην ἔσται ἡ ἔννοια ἥδε: νομίζοντες καὶ ἐκεῖνοι, ὅτι ἐν ᾧ χρόνῳ οὐδεμία ἂν ἄλλη καταλληλοτέρα περίστασις αὐτοῖς ἐδόθη οἱ Λακεδαιμόνιοι διεσώθησαν (εἶχον διασωθῇ). Ἡ ἐξήγησις αὕτη φαίνεται βεβιασμένη καὶ προτείνομεν τὸ μὴ ἂν τῷ διαπεφευγέναι ἀποδοθῆναι: ἐπειδὴ ἐνόμιζον καὶ ἐκεῖνοι (οἱ Ἀργεῖοι) ὅτι, ἐνῷ ποτε ἐδόθη αὐτοῖς εὐνοϊκωτέρα περίστασις πρὸς μάχην, οἱ Λακεδ. ἠδυνήθησαν διασωθῆναι (τοὺς εἶχον διαφύγῃ κοινῶς). Τὸ κάλλιον παρασχὸν ἐκφράζει τὴν βαθμολογικὴν σχέσιν πρὸς τὸ παρὰ τῶν Λακεδ. ἀνωτέρω 60, 2 ἐν καλλῷ παρατυχὸν σφίσι „νεοελληνιστὶ οὕτω: ἐπειδὴ ἐνόμιζον καὶ ἐκεῖνοι, ὅτι δὲν θὰ τοὺς διέφευγον, δὲν θὰ τοὺς εἶχον διαφύγῃ οἱ Λακεδ. καθ' ὃν χρόνον ποτὲ αὐτοὶ εἶχον τὴν καλλιτέραν εὐκαιρίαν ἢ περίστασιν πρὸς μάχην. Τὸ νομίζειν μετὰ εἰδικοῦ ἀπαρεμ. μετὰ τοῦ μὴ ἀντὶ οὐ ἐκφράζει τὸν ἐξαρτώμενον λόγον ὡς πιθανόν, ὡς ὑποθετικόν, καὶ μεταπίπτει εἰς τὴν ἔννοιαν τοῦ κρίνειν, ὑπολαμβάνειν, ἅπερ καὶ μὴ δέχονται. Δημοσ. 2 οἴεσθε οὐκ ἂν αὐτὴν λαβεῖν. Πλ. ὁμολογεῖς μὴ εἶναι ἀγαθὸν μηδὲ καλόν. Ὃ δὴ ἔφαμεν οὐκ ἂν γενέσθαι". Ὁ δημώδης λόγος χρῆται: νομίζω νὰ ἠμπορῶ νὰ ἔλθω = νομίζω μὴ ἂν ἐλθεῖν ἀντὶ οὐκ ἂν ἐλθεῖν. Μοὶ φαίνεται νὰ μὴ εἶνε καλόν, φαντά-

ζομαι, κρίνω νὰ μὴ εἶνε καλὸν = δοκεῖ μοι μὴ ἂν καλὸν εἶναι ἀντὶ οὐκ ἂν . . Παρασχὸν ἀπρόσωπ. αἰτ. ἀπόλ. ὡς ἐπὶ τὸ πολὺ χρονικὴ = εὐκαιρίας τυχούσης, δοθείσης. Παρβ. 1, 120, 3 *εὖ παρασχὸν.* 4, 85, 2 *νῦν, ὅτε παρέσχεν, ἀφιγμένοι.* 6, 86, 5 *ὑμῖν οὐ πολλάκις παρασχήσειν μετὰ τοσῆςδε ἐπικουρίας ἀμύνασθαι· καὶ* 5, 14, 2 *καλῶς παρασχόν.*

Κεφ. 61, 1 *οἱ Ἀργεῖοι (ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λῦσαι πρὸς τοὺς Λακεδ.) ἀπιέναι ἐκέλευον αὐτούς . . = οἱ Ἀργεῖοι ἐκέλευον αὐτοὺς ἀπιέναι, ἐπειδὴ ὤκνουν λῦσαι τὰς σπονδὰς πρὸς τοὺς Λακ. καίπερ δυσηρεστημένοι ὄντες. Παρβ.* 3, 28, 2 *οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδ. μάλιστα τῶν Μυτιληναίων περιδεεῖς ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσι (καίπερ ἀσφαλεῖς ὄντες) καὶ* 80, 1 *ἐπλήρωσαν γὰρ ὅμως τριάκοντα (νᾶς). Αὐτόθι* 2. *καὶ ἔλεγον οἱ Ἀθηναῖοι Ἀλκιβιάδου πρεσβευτοῦ παρόντος ἔν τε τοῖς Ἀργείοις καὶ ξυμμάχοις ταῦτα, ὅτι . . „Οἱ κώδικες ταύτην τὴν γραφὴν φέρουσιν.* Ὁ Classen *νομίζων ὅτι οἱ Ἀθηναῖοι διὰ τῆς παρουσίας τοῦ Ἀλκιβ. ὡς πρεσβευτοῦ ἀγορεύουσιν ἰδίᾳ τοῖς Ἀργείοις καὶ τοῖς συμμάχοις, οἵτινες παρὰ τὴν πόλιν Ἄργος ἦσαν ἔτι ἐστρατοπεδευμένοι, τεκμαιρόμενος τοῦτο καὶ ἐκ τοῦ τὲ-καὶ: ἔν τε τοῖς Ἀργ. καὶ τοῖς ξυμμ.“ γράφει ἀντὶ ταῦτα ταὐτὰ, δηλονότι καὶ πρὸς τὸν δῆμον τῶν Ἀργείων καὶ πρὸς τὸ στρατόπεδον τῶν συμμάχων τοὺς αὐτοὺς λόγους ἔλεξαν.* Ὁ Poppo *καὶ ὁ* Stahl *μεταβάλλουσι τὸ παρόντος εἰς παριόντος μὴ δεχόμενοι τὴν παρουσίαν τοῦ Ἀλκιβ. κατὰ τὴν ἀγόρευσιν τῶν Ἀθην. Παρατηροῦμεν πρῶτον, ὅτι οἱ Μαντινεῖς καὶ οἱ Ἠλεῖοι* (61, 1) *κατέπεισαν τοὺς Ἀργ. προσαγαγεῖν τοὺς Ἀθηναίους πρὸς τὸν δῆμον, ὁ δὲ Ἀλκιβ. πρεσβευτὴς ὢν οὐκ ἂν ἠδύνατο ἀπεῖναι. Εἶτα ὡς οἱ βοηθήσαντες τριακόσιοι καὶ χίλιοι Ἀθην. πρεσβευτὴν πρὸς τὸν δῆμον τῶν Ἀργ. ἔπεμψαν, οὕτω καὶ ἐκ τοῦ στρατοπέδου τῶν συμμάχων παρέστησαν ἐν τῇ ἀγορεύσει καὶ ἄνδρες Μαντινεῖς καὶ Ἠλεῖοι, καθ' ὅσον οὗτοι ὡς ἐπίσημοι ἐν τῇ πόλει διέτριβον καὶ εἰς συνάφειαν πρὸς τοὺς ἐν τέλει Ἀργείους διετέλουν. Ἄτοπον ἂν ἦν, ἐὰν θῶμεν, ὅτι οἱ τῶν Ἀθην. πρέσβεις ἀγορεύσαντες πρῶτον πρὸς τὸν δῆμον μετέβαινον εἶτα πρὸς τὸν αὐτὸν σκοπὸν εἰς τὰ στρα-*

τόπεδα τῶν συμμάχων. Τούτου δὲ λογικώτερον ἂν ἦν, ἐὰν θῶμεν, ὅτι ἐν τῷ δήμῳ τῶν Ἀργείων καὶ Μαντινεῖς καὶ Ἠλεῖοι οἱ σημαντικώτεροι παρῆσαν. Διὰ ταῦτα ὑποτιθέμεθα, ὅτι τὸ ταῦτα, ὡς ὁ Grote, Poppo, Stahl καὶ ἄλλοι παρεδέξαντο, ἀναφέρεται εἰς τὰ ἑπόμενα ὡς προεξαγγελτικὸν, δηλ. ὅτι κτλ. ὁ τὲ-καὶ δηλοῖ μάλιστα τὸ σύγχρονον τῆς ἀγορεύσεως πρὸς ἀμφοτέρους. Ἡ δὲ ἐν μετὰ δοτ. σημαίνει τὸ ἐνώπιον = ἔλεγον οἱ Ἀθην. παρόντος τοῦ Ἀλκιβ. ὡς πρεσβευτοῦ καὶ ἐνώπιον τῶν Ἀργείων καὶ ἐνώπιον τῶν συμμάχων ταῦτα, ὅτι δηλ. κτλ. Ἡ δὲ μετοβολὴ τοῦ παρόντος εἰς παριόντος δηλοῖ μᾶλλον, ὅτι οἱ Ἀθην. ἔλεγον τῷ στόματι τοῦ Ἀλκιβ. παρελθόντος ἐπὶ τὸ βῆμα.

Κεφ. 62, 2 καί τινες αὐτοῖς καὶ αὐτῶν Τεγεατῶν ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα". Ὁ Poppo, Classen καὶ Stahl ἀναγινώσκουσι: καὶ αὐτῶν [τεγεα] τῶν ἐν τῇ πόλει . . . „ἀποδιδόντες τὴν ἀρχικὴν γραφὴν εἰς πλάνην ἀντιγραφέως ἐκ τοῦ ἐγγὺς κειμένου τεγέαν. Τὴν διαφορὰν τῆς διαφόρου γραφῆς νομίζομεν οὕτω: a) καί τινες καὶ αὐτῶν τῶν ἐν τῇ πόλει = καί τινες καὶ αὐτῶν τῶν πολιτῶν ἔμελλον παραδιδόναι αὐτοῖς τὰ πράγματα. b) καί τινες καὶ αὐτῶν Τεγεατῶν ἐν τῇ πόλει = καὶ αὐτῶν τῶν πολιτῶν ἔμελλον παραδ. αὐτοῖς ἐντὸς τῆς πόλεως τὰ πράγ. δηλ. διεπραγματεύοντο ἐντὸς τῆς πόλεως καὶ οὐχὶ ἐκτὸς ἐν Μαντινείᾳ ἢ ἀλλαχοῦ. Ἡ ἀρχικὴ γραφὴ ποιεῖ τὴν διάκρισιν τῶν διαπραγματεύσεων περὶ τῆς παραδόσεως τῆς διοικήσεως τῆς πόλεως ἐντὸς αὐτῆς ἀπὸ τοῦ ἐκτός. ἐνεδίδοσαν τὰ πράγ. = ἐνδιδόναι ἔμελλον τὰ πράγ. = παραδιδόναι, καταλιπεῖν τὴν διοίκησιν τῆς πολιτείας. Παρβ. 4, 76, 3 Χαιρώνειαν δὲ, ἣ ἐς Ὀρχομενὸν . . . ξυντελεῖ, ἄλλοι ἐξ Ὀρχομενοῦ ἐνεδίδοσαν καὶ 2, 65, 10 . . ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι.

Κεφ. 63, 1 . . παρασχὸν καλῶς ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον" Ὁ Classen δεξάμενος τὴν γνώμην τοῦ Hertlein προτείναντος μετὰ τὸ πρότερον κόμμα καὶ μετὰ τοῦτο ὡς: ὡς αὐτοὶ ἐνόμιζον, γράφει: παρασχὸν καλῶς ὡς οὔπω πρότερον, ὡς αὐτοὶ ἐνόμιζον". Κατὰ ταύτην τὴν ἐκδοχὴν ἡ ἔννοια ἔχει: εὐκαιρίας αὐτοῖς δοθείσης, οἵα οὔπω πρότερον ἐδόθη, ὡς αὐτοὶ ἐνόμιζον „κατὰ τὰ 4: νόμον δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς οὔπω πρότερον ἐγένετο

αὐτοῖς" καὶ 64, 2: *βοήθεια γίγνεται . . ὀξεῖα καὶ οἵα οὔπω πρότερον". Κατὰ δὲ τὴν πρώτην ἐκδοχὴν ἡ ἐξήγησις ἔχει ὧδε: Εὐκαιρίας δοθείσης αὐτοῖς τοιαύτης, οἵαν οὔπω πρότερον αὐτοὶ ἐνόμιζον = προσεδόκων, ἤλπιζον, ἢ οἵαν οὐκ ἤλπιζον μέχρι τότε δοθῆναι αὐτοῖς πρότερον. Ὁ Ἑλλ. λαὸς λέγει: τῷ ἐδόθη περίστασις, ποῦ ἕως σήμερα ἄλλοτε πρωτήτερα δὲν τὴν ἐπερίμενεν ἢ τῷ ἔτυχε περίστασις ποῦ ἕως τότε πρωτήτερα δὲν τὴν ἐπερίμενεν. Οὐχὶ ἄρα ὡς αὐτοὶ ἐνόμιζον, ὅπερ λίαν χαλαρὸν, ἀλλά: παρασχὸν καλῶς ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον = οὕτως, ὡς οὔπω ἐνόμιζον αὐτοὶ πρότερον (παρασχεῖν ἢ ἄνευ τούτου). Αὐτόθι* 3. *ὁ δὲ παρῃτεῖτο· μέσον = ᾔτει παρακαλῶν. Παρβ.* 1, 73, 3 *ῥηθήσεται οὐ παραιτήσεως μᾶλλον ἕνεκα ἢ μαρτυρίου". Δημ.* 21, 58 *παραιτήσομαι ὑμᾶς μηδὲν ἀχθεσθῆναί μοι". Αὐτόθι. Ἔργῳ γὰρ ἀγαθῷ ῥύσεσθαι τὰς αἰτίας στρατευσάμενος". Τὸ ῥύσεσθαι = ἀπολύειν Σχολ. ἀποπλύνειν, ἀποκαθαίρειν. Ἔνια χειρόγραφα ἔχουσι στρατευσάμενος, τὰ πλεῖστα στρατευσόμενος, οὐδὲν δὲ ἐνεστ. στρατευόμενος. Ἐνταῦθα ὡς ὀρθῶς παρατηρεῖ ὁ* Classen *ἁρμόττει μᾶλλον ὁ ἀόρ. πρὸς τὸ ῥύσεσθαι = ἐπειδὰν στρατεύσηται. Αὐτόθι. ἢ τότε ποιεῖν. τὸ ἢ = εἰ δὲ μή· παραβ.* 1, 140, 1 *ὁρῶ δὲ καὶ νῦν ὁμοῖα . . καὶ δικαιῶ τοῖς κοινῇ δόξασιν, ἤν ἄρα τι . . βοηθεῖν, ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι.*

Κεφ. 65, 2. *Ἔπειτα τῶν πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν . . . ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι, δηλῶν τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλόμενον εἶναι". Ἐν τοῖς κώδιξι γέγραπται ἀντὶ βουλόμενον βουλομένην, οἱ δὲ σχολιασταὶ ἐκ τοῦ Πλουτάρχου ἀναγνόντος βουλόμενον καὶ ἐκ τῆς ἐξηγήσεως τοῦ Σχολ.: νῦν ἀκαίρως αὐτὴν προθυμεῖσθαι ἀναλαβεῖν καὶ ἐπανορθῶσαι τὴν τότε γενομένην ἁμαρτίαν" ὁρμώμενοι ἐδέξαντο τὴν γραφὴν βουλόμενον,* Poppo, Meinike, Herwerden, Stahl *κτλ.* Ὁ Classen *μάλιστα ἐκλαμβάνων τὸ δηλῶν ὡς ἐξήγησιν τοῦ διανοεῖται ἰσχυρίζεται τὴν προσωπικὴν μετοχ. ἀπαραίτητον εἶναι, καὶ παραπέμπει εἰς τὰ χωρία βιβ.* 1, 21, 2 *καὶ ὁ πόλεμος οὗτος . . . ἐπ' αὐτῶν τῶν ἔργων σκοποῦσι δηλώσει ὅμως μείζων γεγενημένος, καὶ* 2, 50 . . *καὶ ἐν τῷδε ἐδήλωσε μάλιστα ἄλλο τι*

ὃν ἢ τῶν ξυντρόφων τι" περὶ τῆς τοῦ δηλοῦν συντάξεως μετὰ μετοχῆς. Τὴν γνώμην τοῦ Classen δεχομένου τὸ δηλῶν ὡς ἐξήγησιν τοῦ διανοεῖται οὐ δεχόμεθα, πιστεύοντες μᾶλλον, ὅτι τοῦτο ἐξηγεῖ τὴν παροιμιακὴν φράσιν: κακὸν κακῷ ἰᾶσθαι. Λέγων ὁ σύμβουλος τῷ Ἄγιδι τὴν φράσιν ταύτην ἠθέλησε δηλῶσαι τὴν ἄκαιρον αὐτοῦ προθυμίαν . ., τὴν ἐξωτερίκευσιν τοῦ διανοεῖσθαι, ἥτις τὸ κακὸν κακῷ ἰᾶσθαί ἐστιν, οὐχὶ τὰ διανοήματα αὐτοῦ ἀφανῆ αὐτῷ ὄντα. Παρὰ τῇ δημώδει Ἑλλ. γλώσσῃ οὐ λείπουσι τοιαῦτα παραδείγματα: Ἡ φωτιὰ μὲ τὸ σπίρτο ἢ μὲ τὸ πετρέλαιον δὲν σβύννεται. Τὸ πάθος σου μὲ τὸ θυμὸ δὲν γιατρεύεται. Τὸ πέσιμό σου μὲ τὸ σκόνταμμα δὲν θεραπεύεται. Λέγων ταῦτα ὁ λαὸς δηλοῖ, ὅτι τὸ ἁμάρτημα οὐκ ἴαται, οὐ λύεται ἁμαρτήματι. Ἔτι δὲ λέγει: Ἡ θέρμη μὲ τὰ φασούλια δὲν κόβεται. Καὶ πλεῖστα τοιαῦτα, δι' ὧν ἡ ματαία ἀνόρθωσις πταίσματός τινος ἢ κακοῦ δηλοῦται. Περὶ τῆς μετοχ. βουλόμενον ἐμμένομεν τῇ τῶν χειρογράφων γραφῇ βουλομένην διὰ τούσδε τοὺς λόγους. Ὁ Θουκυδ. ἡδέως πολλάκις χρῆται τοῖς ἀφῃρημένοις ἀντὶ τοῖς συγκεκριμένοις, τοῖς ἀψύχοις ἀντὶ τοῖς ἐμψύχοις. Τὰ χωρία βιβ. 1, 90, 2 τὸ βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους. 102, 3 τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες. 3, 84, 2 ἡ ἀνθρωπεία φύσις . . ἀσμένη ἐδήλωσεν ἀκρατὴς ὀργῆς οὖσα. 6, 47, 1 . . καὶ ἐπιδείξαντας μὲν . . δηλώσαντας δὲ τὴν ἐς τοὺς φίλους . . προθυμίαν" δεικνύουσι τὴν σύνταξιν τοῦ δηλοῦν αἰτιατικῇ καὶ μετοχῇ. Κατὰ ταῦτα συντάττομεν τὸ παρὸν χωρίον ὧδε: δηλῶν (ὁ ξύμβουλος) τὴν παροῦσαν ἄκαιρον προθυμίαν βουλομένην εἶναι (αὐτὴν) ἀνάληψιν τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως. Ἔνθα τὸ βουλομένην λαμβάνεται κατηγορημ. ἢ εἰδικὴ μετοχὴ κατὰ τὴν συντακτικὴν φύσιν τοῦ δηλοῦν = δηλῶν τὴν παροῦσαν ἄκαιρον προθυμίαν αὐτοῦ (νῦν αὐτὸν ἀκαίρως προθυμούμενον ἢ προθυμεῖσθαι) ὅτι ἐβούλετο (αὐτὴ) εἶναι ἀνάληψις τῆς ἐξ Ἀργ. . . = ὅτι ἤθελεν (αὐτὸς) ἀναλαβεῖν τὴν ἐξ Ἄργους ἐπαίτιον ἀναχώρησιν. Τοῦτ' αὐτὸ κατὰ τὴν ἐκδοχὴν ταύτην σημειοῖ καὶ ὁ Σχολ.: νῦν ἀκαίρως αὐτὴν (τὴν ἄκαιρον προθυμίαν βουλομένην) προθυμεῖσθαι ἀναλαβεῖν (αὐτὴν) κτλ. Εἰ ἡ μετοχὴ προσωπικῶς ὑπὸ τοῦ Θουκυδ. ἐξεφέρετο, εἴη ἂν αὕτη γενικῇ βουλομένου, ἥτις εἶχεν

ἂν ἀναφορὰν πρὸς τὸ αὐτοῦ μετὰ τὸ παροῦσαν: τὴν παροῦσαν αὐτοῦ ἢ τὴν παροῦσαν ἄκαιρον αὐτοῦ ἢ τ. παρ. ἄκ. προθυμίαν αὐτοῦ ἀνάληψιν βουλομένου εἶναι . . . .

Αὐτόθι. Ὁ δὲ εἴτε καὶ διὰ τὸ ἐπιβόημα εἴτε καὶ αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ δόξαν, ἐξαίφνης . . ἀπῆγε". Τὸ ἢ ἐν τούτῳ τῷ χωρίῳ εἰς πολὺν λόγον τοὺς σχολιαστὰς ἤγαγεν. Ὁ Dobrée ἐξαλείφει πάντα τοῦτον τὸν προσδιορισμόν. Ὁ Stahl μόνον τὸν ἤ, ὁ Poppo κλείει αὐτὸν ἐν παρενθέσει καὶ τίθησι τὸ κόμμα μετὰ τὸ ἐξαίφνης ἀναγινώσκων: (ἢ) κατὰ τὸ αὐτὸ δόξαν ἐξαίφνης,. Ὁ Classen οὐ ποιεῖται λόγον. Ὁ Σχολ. γράφει: ἀντὶ τοῦ ἄλλο τι δόξαν ἤπερ τὸ αὐτό". Ὁ διαφορικὸς ἢ μετὰ τὸ ἄλλο τι οὐδὲν σημαίνει, νομίζομεν, ἢ διαφορὰν, μεταβολὴν, ἀλλαγὴν δόξης, σκέψεως. Ὁ Ἆγις ἐξαίφνης πάλιν ἀπῆγε τὸ στράτευμα εἴτε καὶ διὰ τὸ ἐπιβόημα τοῦ συμβούλου εἴτε καὶ διότι αὐτὸς ἄλλως πως ἐσκέφθη. Τὸ κατὰ τὸ αὐτὸ σημαίνει ἁπλῶς τὴν μεταβολὴν τῆς πρώτης σκέψεως. Ἡ σύνταξις ἔχει: .. εἴτε καὶ δόξαν αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ δόξαν = τοῦ παρόντος, τῆς παρούσης δόξης, τῶν παρόντων σχεδίων. Ἐὰν τὴν αἰτιολογικὴν ἀπρόσωπον μετοχὴν δόξαν τρέψωμεν εἰς ἀπαρέμφατ. ἐμπρόθετον, ἕξομεν τόδε: ὁ δὲ εἴτε καὶ διὰ τὸ ἐπιβόημα εἴτε καὶ διὰ τὸ δόξαι αὐτῷ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ δηλ. τῶν μέχρι τῆς στιγμῆς ἐκείνης σχεδίων αὐτοῦ. Ἵνα ἐννοήσωμεν τὴν δύναμιν τοῦ διαφορικοῦ ἢ μετὰ τοῦ κατὰ τὸ αὐτὸ, συμπληρώσωμεν τὸ ἐλλεῖπον οὕτω: καὶ διὰ τὸ δόξαν αὐτῷ ἄλλο τι ποιῆσαι ἢ ἐκεῖνο, καθ' ὃ νοερῶς ἐβάδιζε. Παράδειγμα τῆς δημώδους φωνῆς ἴσως διευκολύνῃ τὴν κατανόησιν τοῦ χωρίου τούτου. Μέλλων τις ἀπό τινος πόλεως ἀφικέσθαι εἰς ἄλλην· (γινώσκει δὲ τὴν ὁδὸν ὕποπτον ἐκ λῃστῶν ἐνεδρευόντων· ἐν τούτοις θαρρῶν τῇ ἀφοβίᾳ καὶ τόλμῃ πορεύεται) καθ' ὁδὸν ἀκούει φωνήν: ὀπίσω! ἵσταται πρὸς στιγμὴν καὶ παρευθὺς ἀναχωρεῖ, ἐπιστρέφει. Ἐν ταύτῃ τῇ περιπτώσει λέγει ὁ λαός: ἀμέσως ἐπέστρεψεν εἴτε καὶ διὰ τὴν φωνὴν ποῦ ἤκουσεν εἴτε καὶ διότι διαφορετικὰ ἐσκέφθη γιὰ νὰ φθάσῃ εἰς τὴν πόλιν· τουτέστι μετέβαλε γνώμην, καθ' ἣν ἠδύνατο δι' ἄλλης ὁδοῦ εἰς τὴν ὡρισμένην πόλιν ἐλθεῖν. Τὸ ἐξαίφνης ἀποδίδοται εἰς τὸ ἀπῆγεν ὡς ὀρθῶς παρατηρεῖ ὁ Classen καὶ οὐχὶ εἰς τὸ δόξαν ὡς ὁ Poppo καὶ ἄλλοι δοξά-

ζουσι. *Γίνεται δὲ τοῦτο καταφανὲς καὶ ἐκ τοῦ ὅτι τὸ αἰφνίδιον πρὸς τὸν στρατὸν ἀναφέρεται, ὃς οἱ προσεδόκα τὴν ὀπισθοχώρησιν, καὶ ἐκ τῆς ἐκπλήξεως τῶν πολεμίων* (*κατωτέρω* 5: *οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι τὸ μὲν πρῶτον καταπλαγέντες τῇ ἐξ ὀλίγου αἰφνιδίῳ αὐτῶν ἀναχωρήσει οὐκ εἶχον ὅ,τι εἰκάσωσιν*".

Κεφ, 66, 1 *καὶ* 2 *τῇ δ' ὑστεραίᾳ οὔτε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετάξαντο, ὡς ἔμελλον μαχεῖσθαι, ἢν περιτύχωσιν. οὔτε Λακεδ. ἀπὸ τοῦ ὕδατος πρὸς τὸ Ἡράκλειον πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον ἰόντες ὁρῶσι δι' ὀλίγου τοὺς ἐναντίους ἐν τάξει τε ἤδη πάντας καὶ ἀπὸ τοῦ λόφου προεληλυθότας. Μάλιστα δὴ Λακεδαιμόνιοι ἐς ὃ ἐμέμνηντο ἐν τούτῳ τῷ καιρῷ ἐξεπλάγησαν". Ἡ τελευταία πρότασις τοῦ χωρίου τούτου ὑπὸ πάντων τῶν σχολιαστῶν ὁμολογεῖται ἀνεπαρκὴς καὶ ἀσαφὴς εἰς διασάφησιν τῆς ἐννοίας. Ὁ* Meinike *καὶ ὁ* Krüger *προστιθεῖσι πρὸ τοῦ ὁρῶσι τὸ μόριον ὡς καὶ ἐπιδοκιμάζει ὁ πρῶτος τὴν ὑπόθεσιν τοῦ* Campe *ἀντικαθιστάντος τὸ ἐξεπλάγησαν διὰ τοῦ ἐξεφάνησαν = καὶ οἱ Λακεδ. ὡς βλέπουσι τὸν ἐχθρὸν . . ἐδείχθησαν τότε πρὸ πάντων ὡς Λακεδαιμόνιοι. Ὁ* Stahl *ὅμως ἀπέδειξεν, ὅτι τὸ ἐκφαίνεσθαι οὐδαμοῦ τοιαύτην σημασίαν ἔχει. Ὁ* Madvig *προτείνει: μάλιστα δὴ Λακεδαιμονίους . . . ἐξεπλάγησαν. Ὁ* Stahl *παραδέχεται μετὰ τὸ ἐξεπλάγησαν κενόν τι, ὅπερ πειρᾶται συμπληρῶσαι ὧδε: ὅμως δὲ διὰ τάχους ὡς ἐς μάχην ἀντικατέστησαν „βραδύτερον δὲ ἐν τῇ νεωτέρᾳ αὐτοῦ ἐκδόσει συμπληροῖ αὐτὸ διὰ τῶν λέξεων: μάλιστα δὲ Λακεδαιμόνιοι ἐς ὃ ἐμέμνηντο ἐν τούτῳ τῷ καιρῷ ἐξαναγκασθέντες εὐθὺς ἐκ πορείας μάχεσθαι οὐδ' ὡς ἐξεπλάγησαν. Ὁ* Poppo *ὡσαύτως γράφει: μάλιστα δὲ . . . καὶ παραδέχεται ἔλλειψιν λέξεων. Ὁ* Classen *τέλος μεταλλάσσει τὸ ἐξεπλάγησαν ἀντὶ τοῦ ἐξηλλάγησαν ἐν τῇ σημασίᾳ τοῦ διεκρίθησαν, ἔξοχοι ἐγένοντο, ἐδείχθησαν, λαμβάνων τὶ ἐξαλλάττεσθαι = διαφέρειν ἐκ τοῦ Εὐριπ. Αὐλ.* 556: *τήν τ' ἐξαλλάσσουσαν χάριν = ἐξέχουσαν, ὑπερ = έχουσαν. ὑποτίθεται δ' ἔτι τὸ ἐξεπλάγησαν εἰς παθητ. σημασ. = ἔκπληξιν προὐκάλεσαν, ἔκπληξιν διήγειραν. Ἄλλοι δ' ἄλλως. Πάντες ὅμως οὐκ ἀφίκοντο εἰς εὐάρεστόν τινα ἐξήγησιν, Ὁ* Classen *διισχυριζόμενος λέγει, ὅτι ἐνταῦθα ὁ λόγος οὐ περὶ ἐκπλήξεως τῶν Λακεδαιμ. διὰ τὴν*

κατάβασιν τῶν ἐναντίων ἀπὸ τοῦ λόφου γίνεται, ἐπειδὴ ἦν ἤδη τοῦτο γνωστὸν αὐτοῖς διὰ τοῦ ὕδατος πειραθεῖσι κατορθῶσαι. Τὸ πρᾶγμα, φρονοῦμεν, ἔχει ὡς ἑξῆς: Οἱ Ἀργεῖοι καταλαβόντες χωρίον ἐρυμνὸν καὶ δυσπρόσοδον παρετάξαντο ὡς εἰς μάχην· οἱ δὲ Λακεδ. ἀγόμενοι ὑπὸ τοῦ Ἄγιδος πρὸς τοὺς πολεμίους σχεδὸν μέχρι βολῆς ἀκοντίου ὡς ἐς μάχην ἐξαίφνης τοῦ Ἄγιδος γνώμην μεταβαλόντος ταχέως ἀπέρχονται καὶ πρὸς τὴν Μαντινικὴν ἀφικνοῦνται, ἵνα τοὺς Ἀργείους διὰ τῆς ἐκτροπῆς τοῦ ὕδατος καταβιβάσωσιν ἀπὸ τοῦ λόφου καὶ ἐν πεδιάδι τὴν μάχην ποιήσωνται. Οἱ δὲ Ἀργεῖοι μὴ δυνάμενοι τὴν αἰφνίδιον ἀναχώρησιν αὐτῶν ἐξηγῆσαι ἐφ᾽ ὅσον αὐτοὺς περὶ τὸ ὕδωρ ἔβλεπον ἡσύχαζον. Εἶτα δὲ τῶν Λακεδαιμ. εἰς τὸ αὐτὸ στρατόπεδον πρὸς τὸ Ἡράκλειον ἐλθόντων, οἱ Ἀργεῖοι καταλείπουσι τὸν λόφον καὶ προελθόντες εἰς ὁμαλὸν τόπον παρετάξαντο ὡς εἰς μάχην. Οἱ δὲ Λακεδ. ἀπαράσκευοι τότε εὑρεθέντες μὴ προσδοκῶντες τὴν τοιαύτην τῶν Ἀργείων ἀγωγὴν, καθ᾽ ὅσον ἐν τῷ στρατοπέδῳ μένοντες ἐβουλεύοντο ἐπ᾽ αὐτοὺς μᾶλλον παρεσκευασμένοι ἐπιέναι, ἐξεπλάγησαν διὰ τὴν καὶ αὖθις εἰς μάχην παράταξιν τῶν πολεμίων καὶ ἐθορυβήθησαν διὰ τὴν ἀποτυχίαν τῶν σχεδίων αὐτῶν. Διὰ τοῦτο διὰ βραχείας μελλήσεως, συντόνως, παρασκευάζονται καὶ εἰς μάχην πορεύονται. Ἡ ἔκπληξις τῶν Λακεδ. ἐν ταύτῃ τῇ περιστάσει ὑπῆρξε τοσούτῳ μεγάλη, ὅσῳ μετὰ τὴν ἀπόπειραν καὶ ἀποτυχίαν αὐτῶν τοῦ καταβιβάσαι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου εἶδον αὐτοὺς ἐξαίφνης αὐθορμήτως οὐχὶ μακρὰν τοῦ ἑαυτῶν στρατοπέδου ὡς εἰς μάχην παρατεταγμένους καὶ ἑαυτοὺς ἀπαρασκεύους, ἐπειδὴ ἀναχωρήσαντες ἐκ τοῦ ὕδατος εἰς τὸ στρατόπεδον ἕτερον σχέδιον μάχης συνειλήφεσαν, ὅπερ νῦν ἀναπολοῦντες εἰς τὴν μνήμην διὰ τὰ παρόντα, μάλιστα ἐκπλήσσονται, ταράττονται, φοβοῦνται, θορυβοῦνται. Αὕτη, νομίζομεν, ἡ φυσικὴ ἐξήγησις τοῦ χωρίου, ὅπερ, ὡς ἡμῖν δοκεῖ, οὐδεμιᾶς διορθώσεως δεῖται. Τὸ μάλιστα δὴ ἐν τούτῳ τῷ καιρῷ ἐξαίρει τὴν ἔκπληξιν τῶν Λακεδ., τὸ δὲ ἐς ὃ ἐμέμνηντο ἔτι μᾶλλον ἐνισχύει αὐτὴν διὰ τὴν ἀποτυχίαν τῶν νέων σχεδίων εἰς μάχην. Ἡ δὲ διὰ τοῦ γὰρ αἰτιολογία ἐξηγεῖ τὸ ἐξεπλάγησαν διὰ τῆς συντόνου παρασκευῆς, δηλονότι εἰ μὴ ἐκπεπληγμένοι ἦσαν, οὐκ ἂν διὰ βραχείας

μελλήσεως παρεσκευάζοντο. Ἡ ἔκπληξις προὐκάλεσε τὴν ταχεῖαν παράσκευήν. Οἱ Λακεδ. πειραθέντες τοὺς Ἀργείους ἀπὸ τοῦ λόφου εἰς τὴν πεδιάδα καταβιβάσαι ἔμελλον καὶ τότε μαχεῖσθαι· τούτου δὲ τότε ἀποτυχόντες καὶ ἕτερον σχέδιον πρὸς μάχην συλλαβόντες ἐπανῆλθον εἰς τὸ στρατόπεδον μέχρις οὗ καλῶς τὰ πράγματα παρασκευάσωσιν· ἴσως δ' ἂν καὶ ἐνόμιζον τοὺς Ἀργείους ἀπὸ τοῦ λόφου ἕνεκα τῆς ἐκτροπῆς τοῦ ὕδατος καταβῆναι καὶ εἰς ἀταξίαν ἐλθεῖν, ἣν αὐτοὶ ὠφελούμενοι ἐπῄεσαν ἂν ἐπ' αὐτούς. Ὁ λαὸς λέγει περὶ τοιούτου πράγματος σχεδὸν οὕτω: ἐπῆγε νὰ τὸν ἐπιτεθῇ, καὶ ἐπειδὴ τὸν εὗρε (τὸν ἐχθρὸν) ὡπλισμένον, ἐγύρισεν ὀπίσω σκεφθεὶς νὰ τὸν ἐκδικηθῇ κατ' ἄλλον τρόπον. Ἀλλὰ παρ' ἐλπίδα βλέπει τὸν ἐχθρὸν ὄχι πολὺ μακρὰν πρὸς αὐτὸν ἐρχόμενον μὲ ἀπόφασιν νὰ τὸν κτυπήσῃ. Τότε ἀπὸ τὸν τρόμον του εἰς ὅ,τι εἶχεν ἐνθυμηθῇ χωρὶς νὰ ἀργήσῃ ἤρχισε καὶ αὐτὸς νὰ ὁπλίζηται. Τὸ εἰς ὅ,τι εἶχεν ἐνθυμηθῇ ἀναφέρεται καὶ ἐνταῦθα εἰς τὸ σχέδιον: κατ' ἄλλον τρόπον νὰ τὸν ἐκδικηθῇ.

Κεφ. 68, 1. *Τὸ μὲν γὰρ Λακεδαιμονίων πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ἠγνοεῖτο, τῶν δ' αὖ διὰ τὸ ἀνθρώπειον κομπῶδες εἰς τὰ οἰκεῖα πλήθη ἠπιστεῖτο".* Ὁ Classen *πρὸ τοῖ πλήθη τίθησι τὸ ἄρθ. τὰ, λαμβάνων ὡς ὑποκείμ. τὰ πλήθη.* Ὁ Poppo *κλείει τὸ πλήθη ἐν παρενθέσει.* Ὁ Stahl *καὶ* ὁ Meinike *ἐπειδὴ οὐδαμοῦ παρὰ Θουκυδίδῃ ἀπαντᾷ πληθυντικὸς τοῦ πλῆθος, ἐξαλείφουσι. Τὸ πλήθη ἄναρθρον, εἰ ἐγράφθη ὑπὸ τοῦ Θουκυδ. ἢ μή, οὐδαμῶς παραβλάπτει τὴν ὀρθὴν ἔννοιαν. Ὡς ἀνωτέρω εἶπε: τὸ μὲν Λακεδαιμονίων πλῆθος „οὕτω καὶ ἐν τῷ δευτέρῳ μέρει ἐννοεῖ τὸν ἑνικ.: τούτων δὲ ἢ ἐκείνων δὲ τὸ πλῆθος ἢ τῶν δ' ἄλλων πόλεων τὸ πλῆθος. Ὡς ἐν τῷ πρώτῳ ἐρρήθη: διὰ τὸ κρυπτὸν, ἐν τῷ δευτέρῳ ὡσαύτως διὰ τὸ ἀνθρώπειον. Τὸ ἠπιστεῖτο, ὡς καὶ τὸ ἠγνοεῖτο (ὑπὸ τῶν ἀνθρώπων). Εἰς τὰ οἰκεῖα (πλήθη) εἰμὴ τὸ πλήθη ὑπῆρχε, νοητέον τὸ οὐσιαστικὸν πράγματα. Ἐπειδὴ δὲ ἐνταῦθα εἰδικώτερον περὶ πλήθους ὁ λόγος γίνεται, ἐπαναλαμβάνεται τοῦτο πληθυντικῶς. Διὰ τὸ κομπῶδες εἰς τὰ οἰκεῖα πλήθη = οἱ ἄνθρωποι ἐθίζουσι πρὸς καύχημα μεγαλοποιεῖν τὰ οἰκεῖα πλήθη ἤτοι τὸν ἴδιον*

αὐτῶν πληθυσμόν. Ἐντεῦθεν ἡ ἀπιστία τινὸς εἰς τὸ γράψαι ἀκριβῶς περὶ τῶν οἰκείων πληθῶν. Εἰ Θουκυδίδης π λ ή θ η οὐκ ἔγραψε, θεωρηθήτω τοῦτο προσθήκη ἑρμηνευτοῦ, θελήσαντος τὸ ὑπὸ τοῦ συγγραφέως ἐννοούμενον συμπληρῶσαι. Ὁ Θουκυδ. λέγει: ἀριθμὸν δὲ νὰ γράψω (γράψαι) ἀκριβῶς ἢ καθ' ἕκαστον τῶν ἀγωνισαμένων μερῶν ἢ ὅλους ὁμοῦ δὲν θὰ ἠδυνάμην (θὰ μοὶ ἦτο ἀδύνατον, ὅσας δήποτε πληροφορίας καὶ ἂν εἶχον λάβη, διότι αὗται ἦσαν ἀντιφατικαί, ἑπομένως εἰ ἐβουλόμην ἢ εἰ ἐπεχείρουν, ἀδύνατον θά μοι ἦτο = οὐκ ἂν ἐδυνάμην, ἐκφράζον τὸ ἀποτέλεσμα, τὸ ἐπακολούθημα ἀδύνατον, οὐχὶ ἐνδοιαστὸν καὶ δυνατὸν ὡς διὰ τοῦ: οὐκ ἂν δυναίμην) διότι τὸ μὲν πλῆθος τῶν Λακεδ., διότι κατὰ νόμον τὰ πάντα κρύφα ἔπραττον, ἦτο ἄγνωστον, τῶν δὲ ἄλλων, διότι οἱ ἄνθρωποι ἐθίζουσι δι' υπερηφάνειαν νὰ μεγαλύνωσι τὸν ἴδιον αὐτῶν πληθυσμόν, ἦτο ἄπιστον. Ὁ λαὸς λέγει ἐν τοιαύτῃ περιπτώσει: μὲ ὅλας τὰς πληροφορίας ποῦ εἶχον συλλέξει, πάλιν δὲν θὰ ἠμποροῦσα νά σοι εἴπω ἀκριβῶς πόσοι καὶ πόσοι ἦσαν, διότι ἄλλοι ἀποφεύγουν νὰ φανερωθοῦν εἰς τοὺς ἄλλους, ἄλλοι ἀπὸ ὑπερηφάνειαν καὶ ἐθνικὸν ἐγωισμὸν δὲν λέγουν τὴν ἀλήθειαν. Δεχόμεθα ἄρα τὸν μὲν προσδιορισμὸν ἐ ς τ ὰ ο ἰ κ ε ῖ α π λ ή θ η ὡς ἀναφερόμενον εἰς τὸ ἀ ν θ ρ ώ π ε ι ο ν κ ο μ π ῶ δ ε ς, τὸν δὲ δυνητικὸν ἂν μετὰ παρατατ. ὁριστ. Αὐτόθι 3. λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ ἄνευ Σκιριτῶν ὄντων ἑξακοσίων, ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν τέσσαρες, καὶ ἐν τῇ πεντηκοστύϊ ἐνωμοτίαι τέσσαρες· τῆς τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ τέσσαρες· ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως, ἀλλ' ὡς λοχαγὸς ἕκαστος ἐβούλετο, ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ ὀκτώ. παρὰ δὲ ἅπαν πλὴν Σκιριτῶν τετρακόσιοι καὶ δυοῖν δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν". Πολλοὶ τῶν σχολιαστῶν τὸν ὑπολογισμὸν τοῦτον τοῦ Θουκυδ. περὶ τοῦ ἐν τῇ μάχῃ τῆς Μαντινείας παραγενομένου πλήθους τῶν Λακεδ. ἀμφισβητοῦσι. Κατὰ τὸν ἀρχαῖον Σχολ. ὁ ὑπολογισμὸς ἔχει οὕτω: ἔχει ἕκαστος λόχος πεντηκοστύας τέσσαρας, καὶ γίνονται τῶν ἑπτὰ λόχων εἴκοσιν ὀκτώ· ἔχει ἑκάστη πεντηκοστὺς ἐνωμοτίας τέσσαρας, καὶ γίνονται τῶν εἴκοσιν ὀκτὼ πεντηκοστύων ἐνωμοτίαι ἑκατὸν δώδεκα. Ἔχει ἑκάστη ἐνωμοτία ἄνδρας τριάκοντα δύο, ὥστε γίνεσθαι τὸν

πάντα στρατὸν τρισχιλίους πεντακοσίους ὀγδοήκοντα τέσσαρας". Ὁ Πολυδεύκης περὶ ζυγοῦ λέγει: τῶν μαχομένων τὸ μὲν ἔμπροσθεν μέτωπον καὶ ζυγὸν καὶ πρόσωπον καλεῖται „ὁ δὲ Σουίδας: ζυγὸς ἐν τοῖς τακτικοῖς τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος". Καὶ ὄντως 112 ἐνωμοτίαι ἐπὶ 32 ἄνδρας, διότι τὸ μέτωπον ἑκάστης συνίστατο ἐκ τεσσάρων, τὸ δὲ βάθος ἐξ ὀκτώ = 3, 584 + 600 Σκιρίταις = 4, 184. Τοῦτο δὲ δηλοῦται καὶ ἐκ τοῦ ὅτι ἡ πρώτη τάξις ἤτοι ἅπαν τὸ μέτωπον κατὰ μῆκος περιεῖχε 448. Ἐπειδὴ ἑκάστη τάξις εἶχε βάθος ὀκτὼ ἀνδρῶν, συμποσοῦται ἅπας ὁ στρατὸς εἰς 448 × 8 = 3, 584. Ὁ Classen καίτοι κατὰ τὸν Σχολ. τὸν λογισμὸν τοῦτον ἀποδέχεται, ἀμφιβάλλει ὅμως περὶ τῆς πλήρους ἀκριβείας. Οἱ ἰσχυρισάμενοι ὅτι ἄτοπον καὶ παράδοξον ἦν τοὺς λοχαγούς, ὡς ἐβούλετο ἕκαστος, τὸ βάθος τάττεσθαι, καὶ διὰ τοῦτο ἀπορρίπτοντες τὰς τοῦ κειμένου λέξεις: τῆς τε ἐνωμοτίας . . . ἐβούλετο" φαίνεται, ὅτι οὐκ ἔχουσι πρὸ ὀφθαλμῶν, ὅτι οἱ λοχαγοὶ κατὰ τὰς περιστάσεις δικαιοῦνται τὸ κατάλληλον καὶ ἀναγκαῖον βάθος διδόναι. Τὸ οὐ πάντες ὁμοίως, ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ ὀκτὼ δηλοῖ τὸ σύνηθες παρὰ τοῖς Λακεδαιμ. βάθος τοῦ στρατοῦ.

Κεφ. 69, 2. Τοῖς μὲν Ἀργείοις καὶ ξυμμάχοις τοιαῦτα παρῃνέθη· Λακεδαιμόνιοι δὲ καθ' ἑκάστους τε καὶ μετὰ τῶν πολεμικῶν νόμων ἐν σφίσιν αὐτοῖς ὧν ἠπίσταντο τὴν παρακέλευσιν τῆς μνήμης ἀγαθοῖς οὖσιν ἐποιοῦντο, εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σώζουσαν ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραίνεσιν". Ἡ Λυδία λίθος παρὰ πᾶσι τοῖς σχολιασταῖς καὶ ἐκδόταις κατέστη ἡ πιστὴ ἑρμηνεία τοῦ χωρίου τούτου καὶ δύσλυτον πρόβλημα ὁ νοῦς αὐτοῦ πρόκειται. Ἡ δυσκολία παρ' αὐτοῖς ἄρχεται ἐκ τοῦ: καθ' ἑκάστους τε καὶ . . . Ὁ Stahl μετ' αὐτὸ ὑποπτεύει κενόν τι, ὅπερ συμπληροῖ ὧδε: τῶν ξυμμάχων βραχείᾳ παραινέσει. Ὁ Schütz ἐξαλείφει τὸν τέ. Ἡ σύγχυσις καὶ ἐνταῦθα προκύπτει ἐκ τῆς προσοχῆς τῶν σχολιαστῶν τοῦ διακρίνειν τοὺς συμμάχους ἀπ' αὐτῶν τῶν Λακεδ. Τοιοῦτόν τι ἐνταῦθα, φρονοῦμεν, οὐδὲν ὑπάρχει· ἐπειδὴ ὁ Θουκυδ. ἐν τῇ παρασκευῇ ταύτῃ ποιεῖται μὲν μνείαν τῶν συμμάχων τῶν Λακεδ. ἐν τῇ ἀρχῇ κεφ. 64, 3 καὶ τοῖς μὲν Ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις . . . καὶ οὐ πολλῷ

ὕστερον οἱ ξύμμαχοι ἀπ' Ἀρκάδων παρῆσαν, καὶ 5: Λακεδαιμόνιοι δὲ ἀναλαβόντες τοὺς παρόντας Ἀρκάδων ξυμμάχους ἐσέβαλον ἐς τὴν Μαντινικὴν", ἀλλὰ συγκεντροῖ καὶ προσέχει τὸν νοῦν μᾶλλον εἰς τὸ ἐπικρατέστερον, εἰς τοὺς Λακεδ. 66, 2 μάλιστα δὴ Λακεδαιμόνιοι . . ἐξεπλάγησαν· 3 Ἄγιδος ἐξηγουμένου κατὰ νόμον· βασιλέως γὰρ . . πάντα ἄρχεται. 4 σχεδὸν γάρ τι πᾶν πλὴν ὀλίγου τὸ στρατόπεδον τῶν Λακεδ. ἄρχοντες ἀρχόντων εἰσίν. 67, 1 Λακεδαιμόνιοι μὲν οὕτως ἐτάξαντο. 68, 1 τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων ἦν, τὸ δὲ στρατόπεδον τῶν Λακεδ. μεῖζον ἐφάνη. 2 τὸ Λακεδαιμονίων τότε παραγενόμενον πλῆθος. Καὶ ἐνταῦθα: τοῖς μὲν Ἀργείοις καὶ ξυμμάχοις τοιαῦτα παρῃνέθη· Λακεδαιμόνιοι δὲ . . „καθ' ἑκάστους σημαίνει κατ' ἰδίαν εἰς ἕκαστον λόχον, τάξιν, ὡς ἀνωτέρω περιγράφεται ἡ κατάταξις καὶ παράταξις εἰς μάχην, καὶ ἰδιαιτέρως, καθ' ἕκαστον λόχον ἰδιαιτέρως οἱ οἰκεῖοι στρατηγοὶ καὶ λοχαγοὶ παραινέσεις ἐποιοῦντο καὶ ἐν συνόλῳ μετὰ τῶν πολεμικῶν νόμων. Τὸ καθ' ἑκάστους ἀναφέρεται οὐχὶ ἀποκλειστικῶς εἰς τοὺς συμμάχους, ἀλλ' ἐν γένει εἰς ἅπαντα τὸν στρατὸν κατὰ τάξεις διὰ λόγων τῶν λοχαγῶν παραινούμενον, τὸ δὲ ἐν σφίσιν αὐτοῖς μετὰ τῶν πολεμικῶν ᾀσμάτων περιορίζεται μόνον ἐν τοῖς Λακεδαιμ. ὡς ἴδιον ἔθιμον ἔχουσι πολεμικὰ ᾄσματα ἐν μάχαις ᾄδειν· αὐτοὶ γὰρ μόνοι ταῦτα ἠπίσταντο. Ὁ τὲ-καὶ κατὰ ταῦτα ἔξει ὡς ἄριστα συνδέων καὶ ἐνταῦθα δύο συγχρόνους διαφόρους περιστάσεις, τουτέστιν οἱ Λακεδ. παρεκελεύοντο οὐ μόνον ἰδίᾳ καθ' ἕκαστον μέρος, ἀλλὰ καὶ κοινῇ. Ὡσαύτως τὰ ἐμβατήρια ταῦτα ὑπὸ μόνων τῶν Λακεδ. ᾀδόμενα ἐπέδρων καὶ ἐπὶ τοὺς Ἀρκάδας, Μαιναλίους καὶ Τεγεάτας. Ὥστε τὸ ἐν σφίσιν αὐτοῖς οὐκ ἀποκλείει ἀπὸ τῶν συμμάχων τὴν παρακέλευσιν. Περὶ δὲ τοῦ ἀγαθοῖς οὖσιν, ὅπερ οἱ σχολιασταὶ ὡς τὸν οἴακα τῆς ἀεροπόρου σφαίρας θεωροῦσιν, ἡμεῖς πειρασόμεθα τὸ ἐφ' ἡμῖν ἁπλῆν καὶ φυσικὴν ἑρμηνείαν δοῦναι. Λεκτέον δὲ πρῶτον τὶ οἱ περὶ τὰ τοιαῦτα πρότερον ἀσχοληθέντες εἰρήκασιν. Ὁ ἀρχαῖος Σχολ. γράφει: αὐτοῖς παρεκελεύοντο ἀγαθοῖς οὖσι μεμνῆσθαι ὧν μεμαθήκεσαν καὶ ἠπίσταντο" ἕτερος: παρεκελεύοντο ἀλλήλοις μεμνῆσθαι ὧν ἠπίσταντο". Ὁ Haack, Poppo, Böhme ἀποδιδοῦσι τὸ ἀγαθοῖς οὖσιν εἰς τὸ

σφίσιν αὐτοῖς τὸ παρακέλευσιν δὶς λαμβάνοντες. Ὁ Stahl διορθοῖ: ὧν ἠπίσταντο (τὴν) παρακέλευσιν τὴν μνήμην ἀγαθοῖς οὖσαν ἐποιοῦντο. Ὁ Classen τέλος μὴ ἱκανοποιούμενος τῇ λογικῇ αὐτοῦ ἀναλύσει τῆς περιόδου ἀναφέρων τὸ *εἰδότες* εἰς τὸ *ὧν ἠπίσταντο* προτείνει μετάθεσιν τοῦ *ἀγαθοῖς* οὖσι μετὰ τὸ *σῴζουσαν*, τὸ *καλῶς ῥηθεῖσαν* ἀντιμετωπίζοντος. Ἄλλοι ἐννοοῦσιν ὡς πρὸ τοῦ *ἀγαθοῖς*, καὶ ἄλλοι ἄλλως. Ὁ Stahl πρὸς διευκόλυνσιν τῆς ἑρμηνείας προσάγει ἐκ τοῦ βιβλ. 4, 95, 1 τὸ χωρίον: δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός γε τοὺς ἀγαθοὺς ἄνδρας δύναται καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν". Περὶ τῶν *πολεμικῶν νόμων* ὁ Σχολ. γράφει: νόμους πολεμικοὺς λέγει τὰ ᾄσματα, ἅπερ ᾖδον οἱ Λακεδ. μέλλοντες μάχεσθαι· ἦν δὲ προτρεπτικά· ἐκάλουν δὲ ἐμβατήρια. „Καὶ ὁ Πλούτ. Λυκ. 21 ἔπαινοι γὰρ ἦσαν ὡς τὰ πολλὰ τῶν τεθνηκότων ὑπὲρ τῆς Σπάρτης εὐδαιμονιζομένων καὶ ψόγοι τῶν τρεσάντων ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βίον· ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν πρέπουσα ταῖς ἡλικίαις". Μελλόντων ἀμφοτέρων τῶν στρατῶν μάχεσθαι ὁ Θουκυδ. μετὰ τὴν περιγραφὴν τοῦ ἀριθμητικοῦ πληθυσμοῦ τῶν Λακεδ. προτάσσει τοὺς Ἀργείους παραινοῦντας τοῖς ἑαυτῶν καθ' ἑκάστους ὡς συγκειμένους ὡς ἐπὶ τὸ πολὺ ἐκ συμμαχικοῦ στρατοῦ καὶ ὡς πλείονος χρόνου δεομένους πρὸς τὴν παρακέλευσιν, γινώσκων ὅτι τὸ ἐν ταῖς μάχαις ἔθος τῶν Λακεδ. πρὸς παρακέλευσιν καὶ σύντομον ἦν καὶ ὀλίγου ἐδεῖτο. Τούτου ἕνεκα προέκρινεν, ἵνα ἐπιτάξῃ αὐτοὺς πρὸς ἔξαρσιν καὶ θαυμασμὸν τοῦ στρατοῦ διὰ τῶν πολεμικῶν ᾀσμάτων τὴν καταγωγὴν αὐτοῦ ἐνθυμουμένου καὶ πρὸς τὸν προκείμενον ἀγῶνα ἐνθουσιῶντος, μὴ δεομένου λόγων παραινετικῶν. Οἱ Λακεδ. τοίνυν παρακελευσάμενοι ἐν βραχέσι τοῖς ἑαυτῶν ἰδίᾳ τε κατὰ λόχους καὶ κοινῇ εἶτα διὰ τῶν πολεμικῶν ᾀσμάτων, ἅπερ ἐγίνωσκον καὶ ἐχρῶντο ἐν ταῖς μάχαις, ἵνα ἐνθυμηθῶσιν ὅτι ἀγαθοὶ καὶ ἀνδρεῖοί εἰσι, γινώσκοντες ἐκ πείρας, ὅτι πολυχρόνιος πραγματικὴ (ἐν τοῖς ἔργοις) μελέτη καὶ ἄσκησις πλείονα σῴζει καὶ πλεῖστα πλεονεκτήματα ἔχει ἢ βραχεῖα διὰ λόγου καλῶς ῥηθεῖσα παραίνεσις, ἐπήεσαν ἐπὶ τοὺς ἐναντίους. Κατὰ ταύτην τὴν ἔννοιαν συντάττομεν τὸ χωρίον ὧδέ πως: Λακεδαιμόνιοι δὲ ἐποιοῦντο

ἑαυτοῖς (ἢ ἐν σφίσιν αὐτοῖς) τὴν παρακέλευσιν τῆς μνήμης ἀγαθοῖς οὖσιν = ὅτι εἰσὶν ἀγαθοί, καθ' ἑκάστους τε καὶ μετὰ τῶν πολεμικῶν νόμων ἐν σφίσιν αὐτοῖς, οὓς ἠπίσταντο, εἰδότες μελέτην ἔργων ἐκ πολλοῦ (χρόνου) σῴζουσαν πλείω ἢ παραίνεσιν λόγων δι' ὀλίγου (χρόνου) καλῶς ῥηθεῖσαν. Ἐντεῦθεν τὴν στίξιν δύναταί τις ποιῆσαι ἐπὶ τὸ ἀσφαλέστερον οὕτω: κόμμα μετὰ τὸ ἠπίσταντο ἢ καὶ πρὸ αὐτοῦ ἕτερον ὡς ἀναφορικὴ παρενθεμένη πρότασις προσδιορίζουσα τὸν προσδιορισμὸν τῆς κυρίας προτάσεως: μετὰ τῶν πολεμικῶν νόμων. Ὅτι δὲ τοῦτο φυσικόν ἐστι, βλέπομεν καὶ νῦν ἤδη τοὺς στρατιώτας εἴτε ἐν πολέμῳ εἴτε ἐν εἰρήνῃ ᾄδοντας ἐκεῖνα τὰ ᾄσματα, ἅπερ μετὰ διδασκαλίας καὶ ἐπιστήμης ἔμαθον καὶ γινώσκουσι, δι' ὧν ὁ ἐνθουσιασμὸς καὶ τὸ ἀρειμάνιον αὐτῶν ἐξεγείρεται. Τὸ ὧν ἠπίσταντο ἄρα οὐδὲν ἕτερον σημαίνει ἐνταῦθα ἢ τὰ πολεμικὰ ᾄσματα, ἅπερ ἐξ ἐπιστήμης οἱ Λακεδ. ἐγίνωσκον καὶ ἐν ταῖς μάχαις ἐχρῶντο. Τούτου τεθέντος πᾶσα δυσχέρεια τοῦ χωρίου τούτου αἴρεται καὶ ὁ νοῦς σαφέστατος καὶ διαυγέστατος καθίσταται. Τὸ ἀγαθοῖς οὖσι κατέχει τὴν οἰκειοτάτην αὐτοῦ θέσιν, ἀναφερόμενον εἰς τὴν δοτικ. σφίσιν αὐτοῖς = ἑαυτοῖς, τοῦ παρακέλευσιν τῆς μνήμης ἐποιοῦντο ἀπαιτοῦντος δοτικήν· ἔστι δὲ ἡ μετοχὴ οὖσιν εἰδικὴ = ὅτι εἰσί, τό: Τὴν παρακέλευσιν τῆς μνήμης ἐποιοῦντο αὐτοῖς ἰσοῦται τῷ παρεκελεύοντο μεμνῆσθαι ἑαυτῶν ἀγαθῶν ὄντων. Τὸ πλῆρες εἶχεν ἂν ὧδε: καὶ μετὰ τῶν ἐν σφίσιν αὐτοῖς πολεμικῶν νόμων, οὓς ἠπίσταντο, παρεκελεύοντο μεμνῆσθαι ἑαυτῶν ἀγαθῶν ὄντων. Ἐνταῦθα ἐτέθη δοτ. οὐχὶ τοῦ μνήμην χάριν γενικὴν ἀπαιτοῦντος, ἀλλὰ τοῦ παρακέλευσιν ἐποιοῦντο. Διὰ τῶν ᾀδομένων ᾀσμάτων, ἃ ἠπίσταντο καὶ ἐχρῶντο, οὐδὲν ἄλλο ἐσκοπεῖτο ἢ τὸ μεμνῆσθαι, ὅτι ἀγαθοί εἰσιν. Ὁ Βρασίδας παρακελευόμενος ἀποτείνεται πρὸς τὸν Κλεαρίδαν: καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου ὥσπερ σε εἰκὸς ὄντα Σπαρτιάτην ... κεφ. 9, 9. Πρὸς τοῦτο δὲ ἐμφαντικώτερον ἕπεται ἡ αἰτιολογία διὰ τοῦ εἰδότες, περιοριζομένη ἐν τῷ ἀγαθοῖς οὖσι. Παρὰ τῷ Ἑλλ. λαῷ γίνεται χρῆσις τῆς αὐτῆς περίπου ἐκφράσεως. Ἀκούων τις ἔν τινι νηπιαγωγείῳ ᾀδόμενα ᾄσματα ἐρωτᾷ, τί ᾄδουσιν οἱ παῖδες; „τὰ μαθημένα ἢ τὰ διδαγμένα ἀπὸ τὸν δάσκαλον ἢ τὴν δασκάλαν τραγούδια γιὰ νὰ ἐνθυμῶνται

πῶς νὰ λατρεύουν τὸν Θεόν, πῶς νὰ ἀγαποῦν τοὺς γονεῖς καὶ νὰ σέβωνται τοὺς μεγαλειτέρους καὶ πῶς νὰ ἔρχωνται εἰς τὸ σχολεῖον καθαρά, εὔτακτα καὶ νὰ εἶνε εὐάγωγα καὶ προσεκτικὰ κτλ. Τὰ μαθημένα ἢ τὰ διδαγμένα = ἃ ἐπίστανται. Ἤδη νομίζομεν, ὅτι ἡ ἀχλὺς ἡ ἐπικαλύπτουσα τὸν νοῦν τοῦ παρόντος χωρίου διεσκέδασται.

Κεφ. 70, 1. *Καὶ μετὰ ταῦτα ἡ ξύνοδος ἦν, Ἀργεῖοι μὲν καὶ οἱ ξύμμαχοι . . . Λακεδαιμόνιοι δὲ . . . ἐν ταῖς προσόδοις ποιεῖν". Σχῆμα ἀνακόλουθον ὡς ἐν βιβλ.* 2, 53, 4 *θεῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργε, τὸ μὲν κρίνοντες . . . (ἀνανταπόδοτον) καὶ* 4, 23, 2 *καὶ τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι δὲ . . . περιπλέοντες . . . Πελοποννήσιοι δὲ . . . στρατοπεδευόμενοι καὶ . . . ποιούμενοι . . . σκοποῦντες" καὶ* 6, 61, 3 *εἴρητο δὲ προειπεῖν αὐτῷ . . . θεραπεύοντες . . . βουλόμενοι . . . νομίζοντες". Αὐτόθι. Λακεδαιμόνιοι δὲ βραδέως καὶ ὑπὸ αὐλητῶν πολλῶν νόμου ἐγκαθεστώτων.. „Οἱ πλεῖστοι κώδικες φέρουσι τὴν γραφὴν νόμου, οἱ λοιποὶ καὶ ὁ* Gell. *νόμῳ. Ὁ* Poppo, Stahl *καὶ ἄλλοι ἐδέξαντο τὴν δευτέραν, τοῦ τελευταίου θέντος κόμμα μετὰ τὸ πολλῶν καὶ τὸ νόμῳ ὡς παρὰ* Gell. *κατὰ Ἡρόδ.* 1, 17 *ὑπὸ συρίγγων „καὶ Ξεν. Ἑλλ.* 2, 2, 23 *τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων· καὶ ὑπ' αὐλητῆρος ἀείδειν". Ὁ* Classen *τηρεῖ τὴν γενικὴν νόμου μετὰ τῆς αὐτῆς τῇ δοτικ. σημασίας. Ὁ Σχολ. γράφει: ὑπ' αὐλητῶν ἤγουν μετὰ „Πλούτ. Λυκ.* 22 *ῥυθμῷ πρὸς τὸν αὐλὸν ἐμβαινόντων. Αὐτόθι. Προέλθοιεν ἔχουσιν οἱ κώδικες πλὴν τοῦ* Gell. *προσέλθοιεν. Ὁ* Stahl *καὶ ὁ* Poppo *γράφουσι προσέλθοιεν κατὰ τὸ ἑπόμενον ὄνομα ἐν ταῖς προσόδοις. Ὁ* Classen, *ᾧ συμφωνοῦμεν, τηρεῖ τὸ γνήσιον. Τὸ προέλθοιεν σημαίνει χωρεῖν πρὸς τὸ πρόσω στῆθος πρὸς στῆθος, μέτωπον πρὸς μέτωπον, στρατιωτικῇ ὑπερηφανίᾳ καὶ ἀφοβίᾳ, τὸ δὲ προσελθεῖν ἁπλῶς πλησιάζειν τῶν στρατιωτικῶν τούτων ἀρετῶν μὴ θεωρουμένων. Τοῦτο σημαίνει καὶ τὸ ἐν ταῖς προσόδοις = κατὰ τὴν προσέγγισιν ἁπλῶς.*

Κεφ. 71, 1 *ἐξαλλάσσειν ἀεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν = ἀπομακρύνε ν, ἀποφεύγειν ἀπὸ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν. Γύμνωσιν: μὴ κατὰ δόρυ τοῦ ἐναντίου ἔχειν τὰ γυμνὰ τοῦ σώματος, τουτέστι τὰ δεξιά.*

Σχολ. Αὐτόθι. τὰ στρατόπεδα ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο· ἐπὶ τὰ δεξιὰ . . „τινὲς τῶν ἐκδοτῶν ὑποπτεύοντες τό: ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο „ὡς προσθήκην ἀντιγραφέως ἐξοβελίζουσιν, ἀναγινώσκοντες: τὰ δὲ στρατόπεδα (ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο) ἐπὶ τὰ δεξιὰ κτλ. Ἡ ἀπόδοσις τοῦ μὲν κεῖται μὲν ἐν § 3 *δείσας δὲ Ἆγις . . ., ἀλλὰ ἡ δρᾶσις στερεῖται ἰσχύος, ἐνυπαρχούσης μᾶλλον ἐν τῷ: καὶ τότε περιέσχον μὲν οἱ Μαντινῆς . . . ἔτι δὲ πλέον οἱ Λακεδ. . . καὶ Τεγεᾶται . . τὸ στράτευμα εἶχον". Ἡ στίξις διὰ κόμματος μετὰ τὸ στρατόπεδα φαίνεται ὀρθοτέρα.*

Κεφ. 74, 2 *οἱ δὲ Λακεδαιμόνιοι προθέμενοι τῶν πολεμίων νεκρῶν τὰ ὅπλα . . = πρὸ τῶν πολεμίων νεκρῶν τὰ ὅπλα θέμενοι.*

Κεφ. 77, 4 *περὶ δὲ τῶ σιῶ σύματος, ἐμενλῆν τοῖς Ἐπιδαυρίοις ὅρκον, δόμεν δὲ αὐτὼς ὀμόσαι". Ἀκατανόητος εἰσέτι παραμένει ἡ ἔννοια τοῦ χωρίου τούτου. Ἡ λέξις ἐμενλῆν παρέχει ἅπασαν τὴν δυσκολίαν καὶ τὴν ἐπισκότισιν. Αἱ ἐν τοῖς χειρογράφοις παραδοθεῖσαι διάφοροι γραφαὶ περὶ αὐτῆς εἰσιν αἱ ἑπόμεναι: σύματος ἐμέλην. σύγματος ἐμέλην. σύματος ἐμὲν λῆν. μὰ τὸν σεμέλην. μὰ τὴν σεμέλην. συματόσαι μὲν λῆν. συμβατόσαι μὲν λῆν. σύματος αἱ μὲν λῆν. σύγματος λῆν. σύμτολην. σύμτοιλην. συμβατόσαιμεν λῆν. Διορθώσεις κατ' εἰκασίαν:* Ahrens: *περὶ δὲ τῶ σιῶ σύματος, αἱ μὲν λῆν, τοῖς Ἐπιδαυρίοις ὅρκον δόμεν, αἱ δέ, αὐτὼς ὀμόσαι.* Ὁ Stahl *καὶ* Poppo: *περὶ δὲ τῶ σιῶ σύματος μέλην τοῖς Ἐπιδαυρίοις, ὅρκον δόμεν δὲ αὐτώς (ὀμόσαι).* ὁ Dav. Heilmann: *περὶ δὲ τῶ σιῶ σύματος ἔμεν λῆν = εἶναι θέλειν . . .* Ὁ Classen *παρεφθαρμένην τὴν λέξιν ἐμενλῆν θεωρῶν ἀποφαίνεται, ὅτι ἐν αὐτῇ ἡ σημασία τοῦ ἐπιθεῖναι, ἐπιτάξαι ἢ τοιούτου τινὸς ἀπαρεμφ. ἐγκρύπτεται. Ὁ λόγος ἐνταῦθα γίνεται περὶ τοῦ θύματος τοῦ θεοῦ τοῦ Πυθέως Ἀπόλλωνος, δι' ὃ Ἀργεῖοι καὶ Ἐπιδαύριοι ἤριζον. Παρβ. κεφ.* 53, 1 *περὶ τοῦ θύματος τοῦ Ἀπόλλωνος τοῦ Πυθαέως, ὃ δέον ἀπαγαγεῖν οὐκ ἀπέπεμπον . . Ἐπιδαύριοι".*

Οἱ Λακεδαιμόνιοι διὰ τῆς συνθήκης ταύτης προτίθενται, ἵνα καὶ τὴν ἔριδα τῶν Ἀργείων πρὸς τοὺς Ἐπιδαυρίους δι' ὅρκου διαλύσωσιν. Ἐπὶ τούτῳ νομίζομεν, ὅτι ἐπιτάττουσι τοῖς Ἀργείοις ὅρκον τοῖς Ἐπιδαυρίοις τελεῖν,

ὃν οὗτοι ὀφείλουσιν ὀμόσαι. Κατὰ ταύτην τὴν ἐκδοχὴν τὸ ἀκατανόητον ἐ μ ε ν λ ῆ ν μεταμορφοῦμεν εἰς τ ε λ ῆ ν μ ὲ ν: περὶ δὲ τοῦ θύματος τοῦ Θεοῦ Ἀπόλλωνος τελεῖν τοὺς Ἀργείους τοῖς Ἐπιδ. ὅρκον, δοῦναι δὲ αὐτοὺς (Ἐπιδ.) (τὸ) ὀμόσαι.

Κεφ. 80, 3 καὶ ὕστερον Ἐπιδαυρίοις ἀνανεωσάμενοι τὰς σπονδὰς αὐτοὶ οἱ Ἀθηναῖοι ἀπέδοσαν τὸ τείχισμα". Πάντες οἱ σχολιασταὶ τὴν δοτ. Ἐ π ι δ α υ ρ ί ο ι ς ὡς μὴ συμβιβαζομένην πρὸς τὴν ἔννοιαν τοῦ χωρίου ἐξοβελίζουσι. Γνωστόν ἐστιν, ὅτι Ἀθηναίοις καὶ Ἐπιδαυρίοις οὐδεμία προηγουμένη συνθήκη ἦν· ἀλλ' ἐπίσης γνωστὸν ὅτι τοιαύτη συνέδεε τοὺς Ἀθηναίους τοῖς Ἀργείοις. Ὁ Δημοσθένης ἀποσταλεὶς εἰς Ἐπίδαυρον, ἵνα ἐξαγάγῃ ἐκ τοῦ φρουρίου τοὺς χιλίους Ἀθηναίους κατ' αἴτησιν τῶν Ἀργείων διὰ τεχνάσματος ἢ διὰ γυμνικοῦ τινος ἀγῶνος ἔξω τοῦ φρουρίου γενομένου προσείλκυσε τὴν φρουρὰν τῶν Ἀθηναίων καὶ συνεννοήσει τὰς πύλας τοῦ τείχους ἔκλεισεν. Εἶτα ἀνανεωσάμενος τὰς σπονδὰς πρὸς τοὺς Ἀργείους τῇ θελήσει τῶν Ἀθηναίων παρέδωκεν αὐτὸς τὸ τεῖχος τοῖς Ἐπιδαυρίοις. Ἡ δοτ. ἀποδίδοται τῷ ἀ π έ δ ο σ α ν, προυτάχθη δὲ κατ' ἀντιπαράταξιν πρὸς τό: ὡς ἐξῆλθε τ ὸ ἄ λ λ ο. Τὸ δὲ α ὐ τ ο ὶ ο ἱ Ἀ θ η ν α ῖ ο ι κεῖται πρὸς ἀντιδιαστολὴν τῶν Ἀργείων, τουτέστιν αὐτοὶ οἱ Ἀθην. ἀπέδοσαν τὸ τεῖχος τοῖς Ἐπιδαυρ. καὶ οὐχὶ οἱ Ἀργεῖοι, οἳ ἐκέλευσαν τοὺς Ἀθην. παραδοῦναι αὐτοῖς. Ἡ θέσις τῆς δοτ. Ἐ π ι δ α υ ρ ί ο ι ς φαίνεται μᾶλλον καλῶς ἔχουσα διὰ τῆς προσθήκης τοῦ ἐπιρρ. πρῶτον: ὁ Δημοσθ. ὡς ἐξῆλθον οἱ Ἀθηναῖοι ἀπέκλεισε τὰς πύλας τοῦ φρουρίου, ὕστερον δὲ πρὸς τοὺς Ἐπιδαυρίους, (τοὺς μὴ ἐξελθόντας δηλ.), ἐπεὶ πρῶτον τὰς σπονδὰς πρὸς τοὺς Ἀργείους ἀνενεώσαντο, αὐτοὶ οἱ Ἀθην. καὶ οὐχὶ οἱ Ἀργ. τὸ τείχισμα ἀπέδοσαν.

Κεφ. 82, 3. Οἱ δὲ Λακεδαιμόνιοι, ἕως μὲν αὐτοὺς μετεπέμποντο οἱ φίλοι οὐκ ἦλθον ἐκ πλείονος, ἀναβαλόμενοι δὲ τὰς γυμνοπαιδίας ἐβοήθουν". Τὸ ἐ κ π λ ε ί ο ν ο ς ἐν τούτῳ τῷ χωρίῳ ἀκατανόητον ὂν παρέσχε τοῖς σχολιασταῖς πλείστας ὑποθέσεις. Ὁ Poppo καὶ ὁ Stahl τιθεῖσι τὸ κόμμα μετὰ τὸ ἦλθον λαμβάνοντες τὸ ἐκ πλείονος μετὰ τῶν ἑπομένων: ἐκ πλείονος ἀναβαλόμενοι δὲ ἐβοήθουν „καὶ ὑποπτεύουσιν ἔλλειψιν λέξεών τινων, ἃς ὁ δεύτερος συμ-

πληροῖ ἐν τῇ νέᾳ αὐτοῦ ἐκδόσει οὕτω: ἕως μὲν αὐτοὺς μετεπέμποντο οἱ φίλοι, οὐκ ἦλθον, ἐκ πλείονος δ' ἐπεὶ οὐ τυχόντες ἐπαύσαντο (μεταπεμπόμενοι), ἀναβαλόμενοι δὲ κτλ. Ὁ Krüger ἀποφαίνεται τὸ χωρίον ἡμαρτημένον εἶναι. Ὁ Classen παραβάλλων τὰ χωρία τοῦ Θουκ., ἐν οἷς ἀπαντᾷ τὸ ἐκ πλείονος ἀποφαίνεται, ὅτι τοῦτο μὲν χρονικῶς κεῖται, τοῦτο δὲ τοπικῶς. Παρατιθέμεθα τὰ χωρία ταῦτα πρὸς μείζονα ἐκ παραλλήλου κατάληψιν τῆς σημασίας αὐτοῦ. βιβλ. 4, 42, 3 Κορίνθιοι δὲ προπυθόμενοι ἐξ Ἄργους ὅτι ἡ στρατιὰ ἥξει τῶν Ἀθηναίων, ἐκ πλείονος ἐβοήθησαν ἐς Ἰσθμὸν πάντες πλὴν τῶν ἔξω Ἰσθμοῦ. 103, 4 μάλιστα δὲ οἱ Ἀργίλιοι, ἐγγύς τε προσοικοῦντες καὶ ἀείποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Βρασίδας ἦλθεν, ἔπραξάν τε ἐκ πλείονος πρὸς τοὺς ἐμπολιτεύοντας σφῶν ἐκεῖ ὅπως ἐνδοθήσεται ἡ πόλις . . 129, 4 Νικόστρατος δὲ ἄλλῃ ἐφόδῳ ἐκ πλείονος παντὶ τῷ ἄλλῳ στρατοπέδῳ ἐπιὼν τῷ λόφῳ ὄντι δυσπροσβάτῳ καὶ πάνυ ἐθορυβήθη. 8, 88, 1 Ἀλκιβιάδης δὲ ἐπειδὴ καὶ τὸν Τισσαφέρνην ᾔσθετο . . . ἔπλει . . ὑποσχόμενος . . ἀσφαλῆ καὶ μεγάλην χάριν . . εἰδώς, ὡς εἰκός, ἐκ πλείονος τὴν Τισσαφέρνους γνώμην. 99, 1 Ταῦτ' οὖν ἐκ πλείονός τε ὁ Θηραμένης διεθρόει". Καὶ ἐν τοῖς ἀνωτέρω παραδείγμασι καὶ ἐν πᾶσι τοῖς ἄλλοις, ὅσα ἄν τις προσαγάγῃ, τὸ ἐκ π λ ε ί ο ν ο ς φαίνεται, ὅτι τηρεῖ τὴν ἀρχικὴν αὐτοῦ δύναμιν τῆς σημασίας, ἀναφερόμενον εἰς τὸν χρόνον, εἰς τὸν τόπον, εἰς τὸ ποιόν, εἰς τὸ ποσόν, εἰς τὸ αἴτιον καὶ εἰς πάντα τοιοῦτον προσδιορισμόν. Σημαίνει δηλονότι πλέον τοῦ δέοντος ἐν πάσῃ περιστάσει, ἑπομένως ὅλαις δυνάμεσι, κατὰ κράτος. Ἐν τῷ 4, 42, 3 χωρίῳ λέγεται, ὅτι οἱ Κορίνθ. μαθόντες πρότερον τὴν ἄφιξιν τῶν Ἀθην. ἐβοήθησαν ἐκ πλείονος, τουτέστιν ἔδραμον εἰς βοήθειαν πλέον τοῦ δέοντος, (ἐκ τοῦ περισσεύματος (τοῦ δέοντος), ὅλαις δυνάμεσι, κατὰ κράτος, λίαν ἐγκαίρως, λίαν ταχέως. Ἐν τῷ 103, 4 οἱ Ἀργίλιοι ὕποπτοι ὄντες τοῖς Ἀθηναίοις, ἐλθόντος τοῦ Βρασίδου, ἔπραξαν πρὸς τοὺς κατοίκους τῆς Ἀμφιπόλεως ἐκ πλείονος ἤγουν πλέον ἢ ὅσον ἔδει πρὸς τὸν σκοπόν, ὅλαις δυνάμεσιν, ἐκ τοῦ περισσεύματος τοῦ πρέποντος, καταβαλόντες πλείονας προσπαθείας ἢ ὅσας ἔδει. Ἐν τῷ 4, 129, 4 ὁ Νικόστρατος

ἐπιπίπτει ἐπὶ τοὺς πολεμίους ἐκ πλείονος δηλονότι πλέον ἢ ὅσον ἔδει ἐπιπεσεῖν, ὅλαις δυνάμεσιν. Ἐν τῷ 8, 88, 1 ὁ Ἀλκιβιάδης ᾔδει τὴν γνώμην τοῦ Τισσαφέρνους ἐκ πλείονος, ὅ ἐστι πλέον ἢ ὅσον ἔδει εἰδέναι, κατὰ κράτος, ἄριστα, κάλλιστα. καὶ ἐν τῷ 99, 1 ὁ Θηραμένης μυστικῶς, κρύφα διεδίδω τὰ ἑαυτοῦ βουλεύματα ἐκ πλείονος, ὅ ἐστι μεθερμηνευόμενον πλέον ἢ ὅσον ἔδει διαδιδόναι, ὅλαις δυνάμεσιν. Ὁ Ἑλλ. λαὸς ἐν τοιαύταις περιπτώσεσι χρῆται τῷ ἐπιρρήματι περιπλέον ἢ κοινότερον: καὶ μὲ τὸ παραπάνω, θέλων δηλῶσαι τὸ πλέον τοῦ δέοντος, π. χ. ἔφαγε πλέον τοῦ δέοντος = ἔφαγε περὶ πλέον ἢ ἔφαγε μὲ τὸ παραπάνω = ἔφαγεν ἐκ πλείονος. Σήμερον ἦλθεν ἐνωρίς, ἐγκαίρως μὲ τὸ παραπάνω = ἦλθεν ἐκ πλείονος. Τὸν γνωρίζει καὶ μὲ τὸ παραπάνω = γνωρίζει αὐτὸν ἐκ πλείονος. Τὸν ἐπετέθη ὅσον δὲν ἔπρεπεν ἢ ὅσον ἠμπόρεσε περισσότερον = ἐπῆλθεν αὐτῷ ἐκ πλείονος. Ἐπροσπάθησεν, ἐνήργησε καὶ μὲ τὸ παραπάνω = ἐμόχθησε καὶ ἔπραξεν ἐκ πλείονος κτλ. Τοῦ δὲ παρόντος χωρίου ὁ νοῦς ἔχει ὧδε: οἱ δὲ Λακεδ. ἕως μὲν οἱ ἐν Ἄργιδι φίλοι αὐτῶν μετεπέμποντο αὐτοὺς εἰς βοήθειαν οὐκ ἦλθον πλέον ἢ ὅσον ἔδει ἐλθεῖν, ἐκ τοῦ περισσεύματος, πολὺ ἐνωρίς, πολὺ ἐγκαίρως, οὐκ ἔσπευσαν, οὐκ ἠπείγοντο, οὐκ ἦλθον ὅσον τὸ δυνατὸν τάχιστα, ἐγκαίρως, ἀλλὰ ἐπεὶ πρῶτον ἀνεβάλοντο τὰς γυμνοπαιδίας (εἶτα) ἐβοήθουν, ἐκίνησαν καὶ ἐν πορείᾳ ἦσαν. Ὁ ἀόρ. ἦλθον δηλοῖ τὸ ἀποτέλεσμα τῆς κατεπειγούσης βοηθείας, ὁ δὲ παρατ. ἐβοήθουν τὴν πρᾶξιν ἀρξαμένην καὶ διαρκοῦσαν ἢ τὴν βραδύτητα αὐτῆς. Τοῦτο δὲ ἦν φυσικὸν γενέσθαι. Οἱ Λακεδ. δηλ. ἄλλως λίαν δεισιδαίμονες ἄγοντες τὰς γυμνοπαιδίας πρὸς τιμὴν τοῦ Ἀπόλλωνος οὐκ ἠξίωσαν κατ' ἀρχὰς εἰς τὰς προσκλήσεις τῶν ἐν Ἄργει ὁμοφρονούντων ἔκτακτον σπουδὴν καὶ ταχυτῆτα βοηθείας ἐπιδεῖξαι, ἔπειτα δὲ τοῦ μεταπέμπεσθαι μὴ παυσαμένου μετὰ χρονοτριβήν τινα, ἕως τὰ τῆς γυμνοπαιδίας ἐν ἀναβολῇ διατάξωνται, ᾔεσαν εἰς βοήθειαν. Ἐνταῦθα ὑποφαίνεται καί τις ἀθυμία τῶν Λακεδ., ἐξ ἧς ἡ βραδύτης, ἡ ἧττα τῶν ἐν Ἄργει ὀλιγαρχικῶν καὶ ἡ ἐπάνοδος αὐτῶν οἴκαδε πρὶν ἢ εἰς Ἄργος ἀφίκωνται: πυθόμενοι ἐν Τεγέᾳ ὅτι νενίκηνται οἱ ὀλίγοι, προελθεῖν μὲν οὐκέτι ἠθέλησαν δεομένων τῶν διαπεφευγότων, ἀναχωρήσαντες δὲ ἐπ' οἴκου

